ρεύσεως τοῦ ἁγίου Πνεύματος, ὅτι ἐκ τοῦ Πατρός, οὐ μὴν καὶ ἐκ τοῦ Υἱοῦ τὸ Πνεῦμα τὸ ἅγιον ἐκπορεύεται· Ἐξεδόθη ὑπὸ Κωνστ. Σιμωνίδου ἐν Λονδίνῳ τῷ 1858, ὃς προέταξε καὶ τὸν ὑπ' αὐτοῦ χαλκευθέντα πλήρη μυθολογημάτων βίον τοῦ Νικολάου. 2) Ἔλεγχοι κεφαλαιώδεις τοῦ παρὰ Λατίνοις καινοφανοῦς δόγματος τοῦ ὅτι τὸ Πνεῦμα τὸ ἅγιον ἐκ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ προέρχεται. Ἐξεδόθη ἐν τῷ Α' τόμῳ τῆς Ἐκκλησιαστικῆς Βιβλιοθήκης. 3) Κατὰ τῆς ἀρχῆς τοῦ Πάπα. 4) Λόγος πρὸς Λατῖνον περὶ ἀζύμων. 5) Λόγος Β' περὶ ἀζύμων. Ἀμφότεροι ἀπόκεινται ἐν τῷ ὑπ' ἀριθμὸν 355 χειρογράφῳ τῆς ἐν Μόσχᾳ βιβλιοθήκης. 6) Ἀπομνημονεύματα ἐκ τῶν ἐν διαφόροις λόγοις γεγραμμένων κατὰ Λατίνων περὶ τῆς εἰς τὸ ἅγιον Πνεῦμα βλασφημίας. Σώζονται ἐν τῇ αὐτῇ βιβλιοθήκῃ καὶ ὑπὸ τὸν αὐτὸν ἀριθμόν. Τὰ Ἀπομνημονεύματα ἐπονήθησαν ὑπὸ τοῦ Νικολάου ἐξ αἰτίας τοιαύτης. Φίλος τις ᾔτησε παρ' αὐτοῦ τοὺς λόγους οὓς κατὰ Λατίνων συνέταξε· οὗτος δὲ μὴ ἔχων τούτους προχείρους συνέγραψε τὰ Ἀπομνημονεύματα καὶ ἔπεμψεν αὐτὰ τῷ φίλῳ. „Ταῦτά σοι ἐν τῷ παρόντι παρ' ἡμῶν ἐσχεδίασται, λέγει ἐν τέλει τοῦ πονήματος, ὅτι μὴ τὸ τοὺς λόγους ἔχον βιβλίον προχείρως εἴχομεν δοῦναί σοι".

Ἀνδρόνικος Καματηρὸς ὑπῆρξεν Ἔπαρχος, μέγας Δρουγγάριος τῆς Βίγλης καὶ κατ' ἐπιγαμίαν συγγενῆς τοῦ αὐτοκράτορος Μανουὴλ τοῦ Κομνηνοῦ, ὡς ὁ Κίνναμος ἱστορεῖ, ἤκμαζε περὶ τὸ ἔτος 1155. Οὗτος συνέγραψεν ἀντίρρησιν κατὰ Λατίνων περὶ τῆς τοῦ ἁγίου Πνεύματος ἐκπορεύσεως, ἐν βίβλῳ ἥτις Ἱερὰ Ὁπλοθήκη ὠνομάσθη, ἐν ᾗ καὶ περὶ ἄλλων ὑποθέσεων διέλαβε, καὶ ἥτις σώζεται μέχρι τοῦ νῦν ἀνέκδοτος τῇ ἑξῆς ἐπιγραφῇ „Σύγγραμμα Ἀνδρονίκου σεβαστοῦ τοῦ πατρόθεν μὲν Καματηροῦ, μητρόθεν δὲ Δούκα, συλλεγὲν καὶ συν-